## XL [III p. 518B.]

(*a*) ἔκ ποτε τῆσδε πόληος ἅμ᾽ Ἀτρεΐδῃσι Μενεσθεύς
ἡγεῖτο ζαθεὸν Τρωϊκὸν ἐς πεδίον,
ὅν ποθ᾽ Ὅμηρος ἔφη Δαναῶν πύκα θωρηκτάων
κοσμητῆρα μάχης ἔξοχον ὄντα μολεῖν.
οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
κοσμηταῖς πολέμου τ᾽ ἀμφὶ καὶ ἠνορέης.

(*b*) ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
παισὶν ἐπ᾽ Ἠϊόνι Στρυμόνος ἀμφὶ ῥοάς
λιμόν τ᾽ αἴθωνα κρυερόν τ᾽ ἐπάγοντες Ἄρηα
4 πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

(*c*) ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ᾽ ἔδωκαν
ἀντ᾽ εὐεργεσίης καὶ μεγάλων ἀγαθῶν·
μᾶλλόν τις τάδ᾽ ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
4 ἀμφὶ περὶ ξυνοῖς πράγμασι δῆριν ἔχειν.